# In natale domini et in sanctam Mariam genitricem

## Τοῦ αὐτοῦ Χρυσοστόμου] εἰς τὴν αὐτὴν ἡμέραν [εἰς τὰ γενέθλια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ εἰς τὴν ἁγίαν Μαρίαν τὴν θεοτόκον.

1 Ἀδιήγητον πέλαγος δι' αἰῶνος ἐμφανίζεται σήμερον, ἐρεύνης ἀνθρωπίνης βαθύτερον ὑπάρχον. Βυθὸν ἀκατάλημπτον ἐξαντλεῖν ἐπεχείρησα καὶ ὅσον διερευνῶ βαθύτερος ἀναφαίνεται. Γνῶσιν ἀρρήτων καὶ σοφίαν κατοπτεύειν προ θέμενος, τῷ ἀγῶνι βαπτίζομαι τῆς τοιαύτης ζητήσεως. Δυνάμεις ἠγνόησαν τὸ τοιοῦτο μυστήριον καὶ πῶς ὑποστήσομαι τὰ ἄλεκτα διηγήσασθαι; Ἐχέτω ἡ ἑορτὴ παρ' ἑαυτῇ τὰ ζητήματα πᾶσαν θνητὴν ἔννοιαν νοητῶς ὑπερβαίνοντα. Ζάλη θαλασσῶν πρόκειται ἄπλευστος, ἐκ βυθῶν ἀθεωρήτων τὴν ὑπόστασιν ἔχουσα. Ἡ κτίσις τὸν κτίστην σήμερον ἀνυμνείτω, ἱκετηρίους φωνὰς καὶ ᾠδὴν ἀναπέμπουσα. Θησαυρὸς οὐράνιος ἐν τῷ ἀγρῷ κατοπτεύεται· δραμόντες οὖν κατίδωμεν τὸ τοιοῦτο μυστήριον. Ἴδε πῶς ἡ γῆ τὸν οὐρανὸν ἐμιμήσατο· τὸν γὰρ πρὸ ἑωσφόρου ἥλιον ἁμιλλομένη προβάλλεται. Καταλάμπει τὰ σύμπαντα ἡ τοιαύτη φωταγωγία ἀνύκτερος ὑπάρχουσα καὶ φαεσφόρον διαύγασμα. Λαμπηδόνες θεόπνευστοι οὐρανόθεν προέκυψαν, εἰς ὅλα τὰ πέρατα τῆς οἰκουμένης διέδραμον. Μαρία ὑποδέχεται τὸν ἐν πᾶσιν ἀχώρητον καὶ φέρει ἐν κοιλίᾳ τὸν τοὺς αἰῶνας κρεμάσαντα. Νῦν ὁ κόκκος ἐσπάρη ἐν τῇ χώρᾳ τῆς χάριτος καὶ στάχυν ἐβλάστησεν θεογνωσίας πολυφόρον. Ξενίζει τοὺς ὁρῶντας ἡ τοιαύτη ὑπόθεσις, πῶς ἡ θάλασσα τὴν ἄβυσσον περιβάλλεται. Ὁ πολύτιμος μαργαρίτης ἐν τῷ ὀστράκῳ κεκόλληται καὶ τοῦτον ὡς ἔμπορος Ἰωσὴφ ἀνεζήτησεν. Παιδίον μαστεύεται ἐν ἀγκάλαις μητρὸς καὶ τρέφει τὰ σύμπαντα, διὰ παντὸς ἐσθιόμενος. Ῥάβδος ἄνθος ἐβλάστησεν καὶ ῥίζαν εἰς βάθος διέδωκεν, ἀστὴρ ἀστέρα προβάλλεται καὶ φάτνη τὸν τόκον ἀσπάζεται. Σπάργανα πυρὶ ἐνειλίττονται καὶ μείωσις τούτων οὐ γίνεται· ζῷα ζωὴν ἀναμάττονται καὶ σπήλαιον, φῶς ὑποδέχεται. Τρέχει πρώτη Βαβυλὼν ἐκ Περσίδος δῶρα κομίζουσα, Αἰθιοπία δὲ φθάζει, χερσὶν Θεὸν ὑποδέξασθαι. Ὑμνῳδοῦσιν ἄγγελοι καὶ ποιμένες ψάλλουσι, ἄνθρωποι δόξαν Θεῷ προσκομίζουσι, καὶ ἐπὶ γῆς εἰρήνην γνωρίζοντες. Φόβῳ Σαλώμη συνέχεται καὶ φωνῇ τὸν κριτὴν ἐκμειλίττεται, Δεσπότην τὸν τεχθέντα ὡμολόγησεν καὶ οἰκείας πληγῆς ἠλευθέρωται. Χερσὶν βαστάζει τὸν ἄχραντον καὶ χαρὰν ἐπέγνω σωτήριον. Ψυχαὶ δικαίων ἀγάλλονται καὶ χοροὶ βροτῶν εὐφραίνονται, ἡ ἔρημος πόλις ἐπέγνωσται, βασιλέως ἐνδημήσαντος. Ὡς ὁ τόκος ἄλεκτος, καὶ ἡ μήτηρ ἀμίαντος· καὶ διὰ ταῦτα πάντα ἀδιήγητον δι' αἰῶνος ἐμφανίζεται πέλαγος ἐρεύνης ἀνθρωπίνης βαθύτερον ὑπάρχον.

2 Ὦ σύλληψις ἄλεκτος καὶ τόκος ἀτράκτευτος, ὦ ἐνθυμήσεως πράγματα καὶ ἐκπλήξεως θαύματα, ὦ παρθένε ἀνύμφευτε καὶ μόνη μετὰ τὸν τόκον ἀμίαντε.

3 Ὁρῶ τὴν παρθένον πόλιν τὸν βασιλέα ἐγκολπιζομένην, ὁρῶ ναὸν ἔνθεον τὸν ἐν ὑψίστοις σκηνώσαντα καὶ ἐν αὐτῷ ἱερουργήσαντα, ὁρῶ κιβωτὸν ἁγίαν τὴν διαθήκην περισφίγγουσαν, ὁρῶ στάμνον χρυσῆν τὸ μάννα προβαλλομένην, ὁρῶ στήλην ἄλυτον τὸν χαρακτῆρα βαστάζουσαν.

4 Ὦ τοῦ θαύματος· ἐκ δρόσου πῦρ λατομεῖται καὶ ἐξ ὕλης φλὸξ ἐξάπτεται, ἡ βάτος φλόγα ἐνδύεται καὶ τὸ ὄρος μείωσιν οὐκ ἐπιδέχεται· ἴχνη Θεοῦ κατοπτεύονται καὶ ἔρευνα ζητήσεως οὐ γινώσκεται.

5 Πλείω τοῦ ἐπὶ τῆς κοσμοπιΐας ὑποκειμένου οὐρανοῦ, ἄλλον ἐπίγειον οὐρανὸν θεωρῶ· ἐκεῖνος τῷ λόγῳ Κυρίου ἀφιλονείκως βαστάζεται καὶ οὗτος τῷ τόκῳ Κυρίου ἀνερμηνεύτως λαμπρύνεται, ἐκεῖνος προβάλλεται ἥλιον αἰσθητὸν καὶ οὗτος ἐξέλαμψεν ἥλιον νοητόν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

6 Ἀντὶ ἑωσφόρου ἔδειξεν τὸν πρὸ ἑωσφόρου, ἀντὶ σελήνης τὴν μήτραν τὴν ἄλοχον, ἀντὶ ἀστέρων τὴν τῆς γαστρὸς καθαρότητα, ἀντὶ τῶν νεφῶν τὸ ἐκ τοῦ σώματος περιβόλαιον· ὄντως οὐρανὸν ὁρῶ τὴν παρθένον τῇ σήμερον πλέον τοῦ ἐπὶ τῆς κοσμοποιΐας ταῖς ἀρεταῖς ἀπαστράπτουσαν.

7 Δίχα χειρῶν ἐπιλήψεως ἐξ ὄρους λίθος λαξεύεται ὅνπερ προϊστόρησεν Δανιὴλ ὁ σοφώτατος. Ἀνὴρ οὐ πάρεστι πρὸς συνάφειαν καὶ μήτηρ τέτοκεν τὴν ἀλήθειαν, ἡ πύλη τοῦ παλατίου ὁρᾶτο ἠσφαλισμένη καὶ ἔνδον ἐν τῷ κοιτῶνι ὁ βασιλεὺς ἐγνωρίζετο.

8 Σὺ 20ἐριζώθης,20 παρθένε, 20ὡς κέδρος ἐν τῷ λιβάνῳ·20 ὡς γὰρ παράδεισος Κυρίου ἔδωκας 20εὐωδίαν.20 Σὺ 20ὡς φοῖνιξ ὑψώθης20 ἐν δόξῃ· τῆς γὰρ σῆς γλυκύτητος ἡ οἰκουμένη πεπλήρωται. Σὺ 20ὡς ἐλαία εὐπρεπὴς20 καρπὸν προήνεγκας δόξης καὶ τὸ ἄνθος σου ἄρωμα εὐωδίας

9 Σὺ 20ὡς ἄμπελος ἐβλάστησας20 βότρυν καὶ ἡ εὐφροσύνη τοῦ οἴνου σου πίνεται καὶ οὐ λείπεται. Σὺ 20ὡς λίβανος,20 λίβανον προσεδέξω καὶ 20ὡς σμύρνα ἐκλεκτή,20 χρυσὸν καὶ σμύρνα σοι προσηνέχθη. Σὺ 20ὡς τερέβινθος ἐξέτεινας κλάδους20 καὶ ὑπὸ τὴν σκέπην αὐτοῦ ἔθνη πεπλανημένα κατέδραμον.

10 Σὺ 20ὡς πλάτανος20 ἀνυψώθης ἐφ' ὕδατος, τὴν γὰρ πηγὴν τῆς ζωῆς ἐν τῇ κοιλίᾳ ἐβάστασας. Σὺ 20ὡς ῥόδον20 εὔχροον ἐν γυναιξὶν 20ἀνεβλάστησας20 καὶ 20ὡς κρίνον20 ἀδιάφθορον τὴν εὐωδίαν ἐξέπεμψας. Σὺ 20πρὸ τοῦ αἰῶνος20 Θεὸν βαστάσαι προώρισαι καὶ 20ἕως20 τοῦ 20αἰῶνος20 διαμένει ἡ λοχεία σου. Σὺ μήτηρ τῆς ἀγάπης.

11 Τοὺς γὰρ 20ἐπαίνους20 σου ἀναγγέλλουσι 20λαοὶ20 καὶ τὴν δόξαν σου 20ἀπαγγελεῖ ἡ ἐκκλησία· ἐν20 γὰρ 20τῷ ἀναλαμβάνειν σε στολὴν δόξης,20 υἱὸν Θεοῦ τέτοκας πρὸς ὃν κράζει ὁ Πατήρ· «20Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε».

12 «Κύριος εἶπεν πρός με· «Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε20»· οὐκ ἔχω μετὰ σὲ ὡς σὲ διὰ σέ· εἷς γὰρ ἐξ ἑνός· «20ἐγὼ σήμερον γεγέννηκά σε20» εἰς ἄλειμμα ἀθλούντων καὶ βασιλέα τυραννουμένων· «20ἐγὼ σήμερον γεγέννηκά σε20», εἰς γαλήνην πολεμουμένων καὶ δόξαν ἀπεγνωσμένων.

13 «20Ἐγὼ σήμερον γεγέννηκά σε20», εἰς ἐκδίκησιν διωκομένων καὶ ζωὴν τεθανατωμένων, εἰς ἦθος χρηστὸν καὶ θειοτέραν βελτίωσιν· «20ἐγὼ σήμερον γεγέννηκά σε20», συγκληρονόμον μετὰ σὲ ἢ σὺν σοὶ οὐ προέκρινα.

14 Ἀρρήτως, ἀρρεύστως, ἀφράστως, ἀφθάρτως «20Υἱός μου εἶ σύ· ἐγὼ σήμερον γεγέννηκά σε20»· πάντα τὰ τῆς φύσεως ἐπεκένωσα, ἔχων ὡς ἐμαυτὸν καὶ σὲ Υἱὸν ἐπικόλπιον· ἰσορρόπῳ γὰρ βουλήσει Βασιλέα σε ἔχρισα· «20ἐγὼ σήμερον γεγέννηκά σε20», ἀφιλονείκως ἐξαπλώσας τῇ θελήσει τὴν δύναμιν, βουληθεὶς Υἱὸν γεννῆσαι, Θεὸν ἐγέννησα τέλειον.

15 «20Ἐγὼ σήμερον γεγέννηκά σε·20» οὐ παρῆν αἰὼν εἰς τὴν τοῦ γεννήσαντος προαίρεσιν, οὐ μεσιτεία τινὸς ἵνα φθάσῃ τὸ γέννημα, οὐκ ἐνθύμημα ἀγγέλων, τὸ νόημα βαθύτερον ὑπάρχον, οὐ χρόνος, οὐ διάστημα, οὐ βραδυτὴς σκέψεως, ἀλλ' ὅλον ἑαυτὸν εἰς τὸν παῖδα μεταβαλών. «20Ἐγὼ σήμερον γεγέννηκά σε20».

16 «20Καὶ ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά20», Κυρίου ἐπιδημήσαντος ἀνακαινίσαι τὰ σύμπαντα ἵνα κόσμος ὁ ἄκοσμος πάλιν ἄνωθεν κοσμηθῇ; «20Καὶ ἵνα τί ἐφρύαξαν ἔθνη20»; Τὴν ἐκ τοῦ σώματος μορφὴν ἑκουσίως ἑλόμενος, τὸ πλανώμενον πρόβατον ζητήσας κατέσπευσεν.

17 «20Καὶ ἵνα τί ἐφρύαξαν ἔθνη20», βασιλέως παρόντος τὸν ἀντάρτην χειρώσασθαι ἵνα τῆς πρώτης φθορᾶς ἐλευθερώσῃ τὸν ἄνθρωπον; «20Καὶ ἵνα τί



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐφρύαξαν ἔθνη20», ποιμένος ἐνδημοῦντος ἐμφράξαι φάρυγγα ἄπληστον, ἵνα μὴ πάλιν ὁ ὄφις ἀρχαίαν δάκῃ πλευράν;

18 «20Καὶ ἵνα τί ἐφρύαξαν ἔθνη20»; Ἐν τῷ τῆς γαστρὸς ἱστῷ ἐξυφάνας τὸ τῆς θεότητος ἔνδυμα, ἐνέδυσεν τὸν κόσμον ἀφθαρσίας ἱμάτιον. «20Καὶ ἵνα τί ἐφρύαξαν ἔθνη20»; Ἄνω ἀμήτωρ Υἱὸς καὶ κάτω ἀπάτωρ ὂν βρέφος· οὐ γὰρ ἄνθρωπος προέκοψεν εἰς Θεὸν, ἀλλὰ Θεὸς ἀνεδέξατο ἄνθρωπον.

19 «20Καὶ ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά20»; Ἐφρύαξαν ἔθνη τὰ ἑλληνικά, ἐμελέτησαν λαοὶ Ἰουδαϊκοὶ κενά. Τί φρυάττετε καὶ οὐ φρίττετε καὶ μελετᾶτε κενὰ καὶ οὐκ ἐνθυμεῖσθε ὅτι ἐκ παρθένου προελήλυθεν Υἱὸς ὁ ὑπάρχων τῆς τεκούσης δημιουργός;

20 Ὁ νόμος προεδήλωσεν καὶ οἱ προφῆται προανεφώνησαν καὶ οὐ σιωπῇ ἐγένετο τὸ τοιοῦτο μυστήριον. Καὶ ὑμεῖς μελετᾶτε «20κενὰ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ20».

21 Εἰ μὲν ἠγνόεις τὸ πρᾶγμα, παράνομε Ἰουδαῖε, δικαίως καὶ ἐζήτεις τὸν τρόπον· οὐκ ἤκουσας πάλαι Ἠσαΐου ἐν προφήταις κράζοντος· «20Ἀκούσατε δὴ, οἶκος Δαυίδ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχει ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σήμειον· ἰδοῦ ἡ παρθένος ἐν γαστρὶ λήμψεται καὶ τέξεται υἱὸν καὶ καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.20»

22 Καὶ σὺ παρακαλύπτων τὴν ἀψευδῆ τοῦ προφήτου φωνὴν μελετᾷς 20κενὰ κατὰ τοῦ Χριστοῦ·20 Ἰδοῦ ἡ παρθένος ἔτεκεν καὶ πάλιν παρθένος ἔμεινεν, ἰδοῦ ἡ παρθένος ἡ τὸν ἀχώρητον χωρητῶς ἀφιλονείκως ἐν τῇ κοιλίᾳ χωρήσασα, ἰδοῦ ἡ παρθένος ἡ τὸ πῦρ τῆς θεότητος ἀγκάλαις ὑποδεξαμένη καὶ ὡς βάτος μὴ φλεγομένη, ἰδοῦ ἡ παρθένος ἡ τὴν προκόσμιον εἰκόνα τοῦ Θεοῦ ὡς στήλη βαστάσασα καὶ ἀσάλευτος διαμείνασα.

23 Ἰδοῦ ἡ παρθένος ἡ ὑπὸ 20ἀγγέλων ἀνατραφεῖσα20, αὐξηθεῖσα, σφραγισθεῖσα, μνηστευθεῖσα. φυλαχθεῖσα, ἁγιασθεῖσα, νυμφευθεῖσα καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ γενεαλογηθεῖσα. «20Τοῦ γὰρ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν20». Οὕτως; Πῶς ἦν ἡ γέννησις Ἰησοῦ Χριστοῦ; Παρθένος τις ἦν ἐκ φυλῆς Ἰουδᾶ, τὸ δαυιτικὸν κατάγουσα γένος, πατρὸς Ἰωακεὶμ, μητρὸς Ἄννας, ἀπὸ Βηθλεὲμ τῆς κώμης, ἥτις οἶκος ἄρτου ἑρμηνεύεται.

24 Ὑπῆρχεν ἡ παῖς γένει βασιλικῷ καὶ πασῇ ἀρετῇ ἐκεκόσμητο, τὸ ἐκ δαυιτικῆς ῥίζης διασώζουσα κάλλος, καθαρὰ καὶ ἄσυλος χώρα· αὐτὴ ὑπῆρχεν ἐν οἴκῳ τῶν γεννητόρων εὐγενῶς τρεφομένη, παλάτιον περιηνθισμένον, σφραγῖδι βασιλικῇ φυλαττομένη, λαμπὰς θεοπτίαν φέρουσα τῷ παντὶ κατέλαμπε κόσμῳ, ὡς δέσποινα ὑπεροπτεύετο τὸ ἐν γυναιξὶν αἰδέσιμον ἐμφανίζουσα.

25 20Ἐν ναῷ Κυρίου ὡς περιστερὰ20 ἀφωρισμένη, ὁσίῳ ἀνδρὶ μνηστεύεται τῷ Ἰωσὴφ, περὶ τὸ δαυιτικὸν ἀγχιστεύοντι γένος. Δέχεται οὖν τὴν οἰκείωσιν τῆς μνηστείας ὁ Ἰωσὴφ καὶ ὡμολόγησεν τὸ συνάλλαγμα, ἠγνοηκὼς τοῦ μέλλοντος τὸ ἀντάλλαγμα.

26 Τί γάρ φησιν; «20Εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου». Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς δίκαιος ὢν20 ἐλογίσατο μήτε ἀνακρῖναι, ἐπειδὴ Θεοῦ συνέργεια ἦν, μήτε παραδειγματίσαι διὰ τὸ εὐγενὲς καὶ ὑπερβάλλον τῆς κόρης, μήτε ἀναγγεῖλαι τινὶ διὰ τὴν ἐπισκιάσασαν δύναμιν, ἀλλ' 20ἐβουλήθη λάθρᾳ ἀπολῦσαι αὐτήν.

27 Ἄγγελος20 δὲ 20Κυρίου κατ' ὄναρ20 φαίνεται λέγων αὐτῷ· «20Ἰωσήφ, υἱὸς Δαυὶδ, τί ἀπολῦσαι λάθρα20 ζητεῖς τὴν πάλαι ὑπὸ τῶν προφητῶν προαναφωνηθεῖσαν ἀμνάδα; Τί 20ἀπολῦσαι λάθρα20 ζητεῖς τὴν ἀσύλητον χώραν καὶ οὐράνιον ὑποδεξαμένην καρπόν; Τί 20ἀπολῦσαι λάθρα20 ζητεῖς τὴν τὸ πῦρ τῆς θεότητος ἀμειώτως χωρήσασαν καὶ ξένην τοῦ ἐπὶ τοῦ Σινὰ Θεοῦ παρουσίαν ἐμφανίζουσαν;



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

28 Ἀλλὰ «20μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν20».

29 Ὦ δέσποτα, διὰ τί μὴ φοβηθῶ παραλαβεῖν τὴν παρθένον; Πλησίον ἑστὼς οὐ τολμῶ καθορᾶν τὴν ἐν αὐτῇ ἐπισκιάσασαν δύναμιν καὶ μὴ φοβηθῶ παραλαβεῖν τὴν παρθένον; Φλὸξ ὅλη μεταμεμόρφωται· ἐκεῖνον γὰρ ἐν κοιλίᾳ φέρει τὸν κορυφὰς ὀρέων συγκαίοντα ἐν ὀργῇ καὶ φλόγα στολίζοντα τὰς ἀσωμάτους δυνάμεις· κἀγὼ μὴ φοβηθῶ παραλαβεῖν τὴν παρθένον;

30 Αὐστηρῷ τῷ βλέμματι καταπλήττει τοὺς ὁρῶντας καὶ ἀπαρνουμένη τὸ γένος εἰς θεοπτίαν τινὰ ἡ παῖς μεταμεμόρφωται καὶ ἄλλον τινὰ χαρακτῆρα φέρει τῆς ὄψεως· κἀγὼ μὴ φοβηθῶ παραλαβεῖν τὴν παρθένον;

31 Σὺ ἐμεσίτευσας τῇ παρθένῳ τὸν τόκον· συνήγορος ἐγένου τοῦ ὁρωμένου θεάματος. Σὺ τὴν κόρην εἰς ἑτέραν μετέδωκας ἀφομοίωσιν, ἔδωκας ἀσπασμὸν καὶ συνέλαβεν τὸν ἱλασμὸν, εἶπας «20Χαῖρε20» καὶ ὁ 20Λόγος20 ἐν αὐτῇ 20σὰρξ ἐγένετο20. Καὶ σὺ, ὁ ἐν ταῖς ἄνω δυνάμεσιν, ἀντωπῆσαι τῷ ἀποστείλαντί σε μὴ δυνάμενος, ἐμοὶ τῷ ἐν ὑλώδει κειμένῳ βίῳ λέγεις· «20Μὴ φοβηθῇς παραλαβεῖν20 τὴν παρθένον;

32 Λειτουργῶ τῷ τόκῳ ἀλλ' οὐχ ὑπουργῶ τῷ τρόπῳ· καθορῶ τὸ φῶς ἀλλ' οὐκ ἐρευνῶ τὸ πῶς· συγκρίνω τὰ κατ' ἐμὲ ἀλλ' οὐκ ἀνακρίνω τὰ ὑπὲρ ἐμέ· τῆς γαστρὸς στενάζω τὸν ὄγκον ἀλλὰ καὶ τῆς φύσεως πείθομαι τῷ ὅρῳ.

33 Ἀπολύσω; Ἀλλ' οὐ συμφέρει. Ἀνακρίνω; Ἀλλ' οὐχ ὑπομένω. Ἐρευνήσω; Ἀλλ' οὐκ ἐξιχνιάσω. Προσέλθω τῷ νόμῳ; Ἀλλ' ἀντιλέγω τῷ ἐν αὐτῇ χρηματίζοντι βασιλεῖ.

34 Τί λέγεις ὅτι «20μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου20»; Γυναῖκα ἐμὴν ποίαν; ἀνδρείῳ ζυγῷ μὴ ὑποζευγθεῖσαν ἀλλὰ ναὸν τοῦ Δεσπότου ἀναδειχθεῖσαν; Λέγεις γυναῖκα ἐμήν· διὰ τί;

35 Δοῦλος ἐγὼ τῆς παρθένου, ὦ δέσποτα, καὶ οὐκ ἀνήρ, φρουρεὺς καὶ οὐ κύριος, παραθηκοφύλαξ καὶ οὐ σύζυγος, οἰκέτης καὶ οὐ νυμφίος. Ἐὰν φεύγῃ εἰς Αἴγυπτον, οὐκ ἀπολιμπανοῦμαι· ἐὰν τίκτῃ, ἐφίστα μαι· μαστεύει καὶ θαμβοῦμαι. Ἐκ γὰρ τῆς ἀκροτόμου πέτρας, βρύει γάλα ζωῆς καὶ παρέχει πᾶσιν τροφήν.

36 Ἐκ ταύτης τῆς ἁγίας παρθένου προῆλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.